ὁρᾶτε ὑμεῖς, [a] πῶς ἄνισοί ἐστε καὶ ἀγνώμονες. [b] τί δὲ
καὶ βούλεσθε μᾶλλον; ἀργύριον ἢ φίλον πιστὸν καὶ
αἰδήμονα; εἰς τοῦτο οὖν μοι μᾶλλον συλλαμβάνετε καὶ
μή, δι' ὧν ἀποβαλῶ αὐτὰ ταῦτα, ἐκεῖνά με πράσσειν
4 ἀξιοῦτε. 'ἀλλ' ἡ πατρίς, ὅσον ἐπ' ἐμοί', φησίν, 'ἀβο-
ήθητος ἔσται'. πάλιν, ποίαν καὶ ταύτην βοήθειαν;
στοὰς οὐχ ἕξει διὰ σὲ οὔτε βαλανεῖα. καὶ τί τοῦτο;
οὐδὲ γὰρ ὑποδήματα ἔχει διὰ τὸν χαλκέα οὐδ' ὅπλα
διὰ τὸν σκυτέα· ἱκανὸν δέ, ἐὰν ἕκαστος ἐκπληρώσῃ
τὸ ἑαυτοῦ ἔργον. εἰ δὲ ἄλλον τινὰ αὐτῇ κατεσκεύαζες
πολίτην πιστὸν καὶ αἰδήμονα, οὐδὲν ἂν αὐτὴν ὠφέ-
λεις; 'ναί.' οὐκοῦν οὐδὲ σὺ αὐτὸς ἀνωφελὴς ἂν εἴης
αὐτῇ. 'τίνα οὖν ἕξω', φησί, 'χώραν ἐν τῇ πόλει;' ἣν
5 ἂν δύνῃ φυλάττων ἅμα τὸν πιστὸν καὶ αἰδήμονα. εἰ δὲ
ἐκείνην ὠφελεῖν βουλόμενος ἀποβαλεῖς ταῦτα, τί ὄφ-
ελος ἂν αὐτῇ γένοιο ἀναιδὴς καὶ ἄπιστος ἀποτελεσθείς;

---

[ab] cf. I, 11, 24

---

18 ἄδικοι *A un. (Nil.)* ‖ ἔσται *B* ‖ 21 αὐτὸ ταῦτα *C (V, v)* ‖ με ἐκεῖνα *C un.*; μὲ (*om.* ἐκεῖνα) *C un.* (*V, v*) ‖ *inter ss. 3 et 4 haec interponit Par.*: ἀλλ' ἐνοχλοῦσί σοι οἱ λογισμοὶ λέγοντες ὅτι 'τοῦτον εἰ στέρξομεν τὸν βίον, οὐδεμία ἡμῶν ἐν τῇ πόλει μνήμη οὐδ' ὄνομα οὐδὲ τιμή· λέληθε δὲ τοὺς πολλούς, ὅτι καὶ πολίτης εἰμί'. ποίαν πάλιν ταύτην τιμὴν λέγουσιν; οὐ χειροτονήσουσιν πρεσβύτην οὐδὲ ἄρχοντα αἱρήσονται. καὶ τί τοῦτο; οὐδὲ γὰρ εἰς τοῦτο ἔταξας ἑαυτόν οὐδὲ τοῦτο ἐπαγγέλλῃ· οὐδὲ γὰρ ἄρχων εἶ οὐδὲ τῶν τὰ κοινὰ πρασσόντων. εἰ δέ τινες μὴ τούτων ὄντες εἰς αὐτὰ μᾶλλον ὠθοῦσιν ἑαυτούς, τί πρὸς σὲ τὸν ἀνακεῖσθαι θεῷ θέλοντα καὶ εἰς τοῦτο ὄντα; ἱκανὸν γὰρ ἑκάστῳ, εἰ τῆς ἑαυτοῦ τάξεως ἄξιος φανείη. εἰ γὰρ τὴν ἐνάρετον πολιτείαν μεταδιώκεις, τούτων οὐδέν σοι προσήκει ἐπιζητεῖν, ἀλλὰ μᾶλλον δι' ὧν ὃ ἐπηγγείλω πληρώσεις ‖ **s. 4.** 23 ἔσται ⟨πειθομένῳ σοι καὶ ἐκτὸς ὡς ἀλλοτρίων καταφρονοῦντι⟩ *ACD sing.* (*Simpl.*) ‖ καὶ *om. A nonn.* (*V, v*) ‖ 24 οὔτε] οὐδὲ *Nil., quod commendat Schw.* ‖ *inverso ordine* 26 σκυτέα — (25) χαλκέα *colloc. B′* (*V, v; Nil.*) ‖ 28 ἂν *A un.* (*V; Nil.*) ‖ 29 ὠφέλεις *V, Nil.*: ὠφίλεις *B*; ὠφελεῖς *A et C un.*; ὠφέλοις *vel* ὠφείλεις *C rell.* (ὤφειλες *ed. Hal., v*) ‖ **s. 5.** 30 φησίν, ἕξω χώραν *C un.* (*Nil.*; φησί, χώραν ἕξω *Simpl.*) ‖ 31 τὸν] σεαυτὸν *C* (*Nil.*) ‖ 33 ἀποτελεῖσθαι *B′* (*v*); ἀποτελέσεις *A un.*



**c. 25.** [a] Προετιμήθη σού τις [b] ἐν ἑστιάσει ἢ ἐν προσα- 1
γορεύσει ἢ ἐν τῷ παραληφθῆναι εἰς συμβουλίαν; εἰ
μὲν ἀγαθὰ ταῦτά ἐστι, χαίρειν σε δεῖ, ὅτι ἔτυχεν αὐ-
τῶν ἐκεῖνος· εἰ δὲ κακά, μὴ ἄχθου, ὅτι σὺ αὐτῶν οὐκ
ἔτυχες· [c] μέμνησο δέ, ὅτι οὐ δύνασαι μὴ ταὐτὰ ποιῶν πρὸς τὸ
τυγχάνειν τῶν οὐκ ἐφ' ἡμῖν τῶν ἴσων ἀξιοῦσθαι. [d] πῶς γὰρ 2
ἴσον ἔχειν δύναται ὁ μὴ φοιτῶν ἐπὶ θύρας τινὸς τῷ φοιτῶντι;
[e] ὁ μὴ παραπέμπων τῷ παραπέμποντι; [f] ὁ μὴ ἐπαινῶν τῷ ἐπαι-
νοῦντι, [g] ἄδικος οὖν ἔσῃ καὶ [h] ἄπληστος, [i] εἰ μὴ προϊέμενος
ταῦτα, ἀνθ' ὧν ἐκεῖνα πιπράσκεται, [k] προῖκα αὐτὰ βου-
λήσῃ λαμβάνειν. [l] ἀλλὰ πόσου πιπράσκονται θρίδακες; ὀβολοῦ, 3
ἂν οὕτω τύχῃ. [m] ἂν οὖν τις προέμενος τὸν ὀβολὸν λάβῃ
θρίδακας, σὺ δὲ μὴ προέμενος μὴ λάβῃς, μὴ οἴου
ἔλαττον ἔχειν τοῦ λαβόντος. ὡς γὰρ ἐκεῖνος ἔχει θρί-
δακας, οὕτω σὺ τὸν ὀβολόν, ὃν οὐκ ἔδωκας. τὸν αὐ- 4
τὸν δὴ τρόπον καὶ ἐνταῦθα. [n] οὐ παρεκλήθης ἐφ' ἑστίασίν
τινος; οὐ γὰρ ἔδωκας τῷ καλοῦντι, ὅσον πωλεῖ τὸ δεῖπνον.
ἐπαίνου δ' αὐτὸ πωλεῖ, θεραπείας πωλεῖ. [o] δὸς οὖν τὸ διά-
φορον, εἴ σοι λυσιτελεῖ, ὅσου πωλεῖται. [p] εἰ δὲ κἀκεῖνα
θέλεις μὴ προΐεσθαι καὶ ταῦτα λαμβάνειν, ἄπληστος εἶ καὶ

---

**c. 25, s. 1.** [al] cf. omnino IV, 6, 25 sqq. — [cd] cf. IV, 2, 2 — **s. 2.** [dg] IV, 6, 36 (III, 17, 2) — [ef] IV, 10, 20 — [fg] cf. III, 24, 49 — [hi] IV, 1, 106 — [kl] IV, 10, 24 — **s. 3.** [lm] III, 24, 48 — **s. 4.** [no] cf. I, 25, 15 — [pq] IV, 10, 24

---

**c. 25, s. 1.** 1 ⟨Ἂν⟩ (*vel* ⟨Ἐὰν⟩) προτιμηθῇ *AD et C un.* (⟨Εἰ⟩ προετιμήθη *Par.*) ‖ **s. 2.** 7 τῶν φοιτῶντι (*!*) *B′* ‖ 9 προέμενος *B′ et C un.* (*Nil., Par.*) ‖ 10 βουλήσει *B′* ‖ **s. 3.** 12 τις] τι *B′* ‖ 15 τὸν *om. C nonn.*; ὃν *om. B′* (*utramque vocem om. ed. Hal., v*) ‖ οὐ δέδωκας *A un.* (*Par. codd. nom.*) ‖ **s. 4.** 17 πωλεῖ *AC sing.* (*Nili cod. Paris. et Vat.; Par. cod. Med.; Simpl.*): πωλεῖται *cett.* ‖ 18 αὐτὸ] αὐτῷ *B un.* (*Nili cod. Par.*, αὐτοῦ *Nili cod. Hafn. et ed. Rom.*); αὐτὸς *C un.* ‖ θεραπείας] κολακείας *A un.* (*et hoc et illud Par.*) ‖ οὖν *om. A un.* (*Nil.*) ‖ διάφορον *AC sing.* (*Nil.*): διαφέρον *cett.* ‖ 19 σοι] τι *B un.* (*ed. Hal.*) ‖ ὅπου πωλεῖται *B un.* (*ed. Hal.*); πωλούμενον *C un.* (*V, ubi* ⟨τὸ⟩ πωλ.) ‖ κἀκεῖνα] ταῦτα *A un.* ‖ 20 ταῦτα] κἀκεῖνα ⟨προῖκα⟩ (*id.* κἀκεῖνα *V*)

ἀβέλτερος. [q] οὐδὲν οὖν ἔχεις ἀντὶ τοῦ δείπνου; ἔχεις μὲν οὖν τὸ μὴ ἐπαινέσαι τοῦτον, ὃν οὐκ ἤθελες, τὸ μὴ ἀνασχέσθαι αὐτοῦ τῶν ἐπὶ τῆς εἰσόδου.[r]

**c. 26.** [r] Τὸ βούλημα τῆς φύσεως καταμαθεῖν [s] ἔστιν ἐξ ὧν οὐ διαφερόμεθα πρὸς ἀλλήλους. οἷον, ὅταν ἄλλου παιδάριον κατεάξῃ τὸ ποτήριον, πρόχειρον εὐθὺς λέγειν ὅτι ʽτῶν γινομένων ἐστίν'. ἴσθι οὖν, ὅτι, ὅταν καὶ τὸ σὸν κατεαγῇ, τοιοῦτον εἶναί σε δεῖ, ὁποῖον ὅτε καὶ τὸ τοῦ ἄλλου κατεάγη. οὕτω μετατίθει καὶ ἐπὶ τὰ μείζονα. τέκνον ἄλλου τέθνηκεν ἢ γυνή; οὐδείς ἐστιν ὃς οὐκ ἂν εἴποι [s'] ὅτι ʽἀνθρώπινον'· [t] ἀλλ' ὅταν τὸ αὐτοῦ τινος ἀποθάνῃ, εὐθὺς ʽοἴμοι, τάλας ἐγώ'. ἐχρῆν δὲ μεμνῆσθαι, τί πάσχομεν περὶ ἄλλων αὐτὸ ἀκούσαντες.

**c. 27.** Ὥσπερ σκοπὸς πρὸς τὸ ἀποτυχεῖν οὐ τίθεται, οὕτως οὐδὲ κακοῦ φύσις ἐν κόσμῳ γίνεται.

**c. 28.** [t'] Εἰ μὲν τὸ σῶμά σού τις ἐπέτρεπε τῷ ἀπαντήσαντι, ἠγανάκτεις ἄν· [u] ὅτι δὲ σὺ τὴν γνώμην τὴν σεαυτοῦ ἐπιτρέπεις τῷ τυχόντι, ἵνα, [v] ἐὰν λοιδορήσηταί σοι, [w] ταραχθῇ ἐκείνη καὶ συγχυθῇ, [w'] οὐκ αἰσχύνῃ τούτου ἕνεκα; [x]

1 **c. 29.** ʽΕκάστου ἔργου σκόπει τὰ καθηγούμενα καὶ τα ἀκόλουθα αὐτοῦ καὶ οὕτως ἔρχου ἐπ' αὐτό εἰ δὲ μή, τὴν μὲν

---

**s. 5.** [qr] cf. omnino IV, 3, 7 sqq.; IV, 9 1
**c. 26.** [rs] I, 17, 13 — [s't] cf. I, 9, 30
**c. 28.** [t'u] II, 12, 19 — [ux] cf. I, 25, 29 — [vw] cf. II, 12, 14 (?) — [ww'] III, 22, 25 (?)
**c. 29.** totum caput paucis mutatis e diss. III, 15 huc translatum est; om. *D* et *AC* sing. *(Par.;* sine commentario praeterm. *Simpl.)*

---

**s. 5.** 23 *τῶν] τῆς B'* ‖ *εἰσόδου ⟨παροινιῶν⟩ AC sing.*
**c. 26.** 2 *ἄλλου Nil. (ἄλλο codd. Vatt. et ed. Rom.), Par.: τοῦ γείτονος ἄλλο Ench.* ‖ 3 *κατάξῃ itemque postea* (5) *καταγῇ et* (6) *καταγῇ C un. (V)* ‖ *πρόχειρον Nil., Par.: πρόχειρόν ἐστιν Ench.* ‖ 6 *τὸ om. B'; τοῦ om. A un.* ‖ 8 *διότι Nil.* ‖ 9 *⟨καὶ⟩ τάλας C un. (Nil.)* ‖ *παράσχομεν B; παρείχομεν C un. (ed. Hal.)*
**c. 27.** 1 *οὐ τίθεται πρὸς τὸ ἀποτυχεῖν AD et C un.*
**c. 28.** 1 *ἐπέτρεπέ τις C un. (V)* ‖ *ὑπαντήσαντι AC nonn., D un. (v; ὑπαντῶντι Simpl.)*
**c. 29, s. 1.** 2 *αὐτῷ A un. (V)*



πρώτην προθύμως ἥξεις ἅτε μηδὲν τῶν ἑξῆς ἐντεθυμημένος, ὕστερον δὲ ἀναφανέντων δυσχερῶν τινων αἰσχρῶς ·ἀποστήσῃ. θέλεις Ὀλύμπια νικῆσαι; κἀγώ, νὴ τοὺς θεούς· κομψὸν γάρ 2 ἐστιν. ἀλλὰ σκόπει τὰ καθηγούμενα καὶ τὰ ἀκόλουθα καὶ οὕτως ἅπτου τοῦ ἔργου. δεῖ σ' εὐτακτεῖν, ἀναγκοτροφεῖν, ἀπέχεσθαι πεμμάτων, γυμνάζεσθαι πρὸς ἀνάγκην, ἐν ὥρᾳ τεταγμένῃ, ἐν καύματι, ἐν ψύχει, μὴ ψυχρὸν πίνειν, μὴ οἶνον, ὡς ἔτυχεν, ἁπλῶς ὡς ἰατρῷ παραδεδωκέναι σεαυτὸν τῷ ἐπιστάτῃ, εἶτα ἐν τῷ ἀγῶνι παρορύσσεσθαι, ἔστι δὲ ὅτε χεῖρα ἐκβαλεῖν, σφυρὸν στρέψαι, πολλὴν ἁφὴν καταπιεῖν, ἔσθ' ὅτε μαστιγωθῆναι καὶ μετὰ τούτων πάντων νικηθῆναι. ταῦτα ἐπισκεψάμενος, ἂν ἔτι 3 θέλῃς, ἔρχου ἐπὶ τὸ ἀθλεῖν. εἰ δὲ μή, ὡς τὰ παιδία ἀναστραφήσῃ, ἃ νῦν μὲν παλαιστὰς παίζει, νῦν δὲ μονομάχους, νῦν δὲ σαλπίζει, εἶτα τραγῳδεῖ· οὕτω καὶ σὺ νῦν μὲν ἀθλητής, νῦν δὲ μονομάχος, εἶτα ῥήτωρ, εἶτα φιλόσοφος, ὅλῃ δὲ τῇ ψυχῇ οὐδέν· ἀλλ' ὡς πίθηκος πᾶσαν θέαν, ἣν ἂν ἴδῃς, μιμῇ καὶ ἄλλο ἐξ ἄλλου σοι ἀρέσκει. οὐ γὰρ μετὰ σκέψεως ἦλθες ἐπί τι οὐδὲ περιοδεύσας, ἀλλ' εἰκῇ καὶ κατὰ ψυχρὰν ἐπιθυμίαν. οὕτω 4 θεασάμενοί τινες φιλόσοφον καὶ ἀκούσαντες οὕτω τινὸς λέγοντος, ὡς Εὐφράτης λέγει (καίτοι τίς οὕτω δύναται εἰπεῖν, ὡς ἐκεῖνος;), θέλουσι καὶ αὐτοὶ φιλοσοφεῖν. ἄνθρωπε, πρῶτον 5 ἐπίσκεψαι, ὁποῖόν ἐστι τὸ πρᾶγμα· εἶτα καὶ τὴν σεαυτοῦ φύσιν κατάμαθε, εἰ δύνασαι βαστάσαι. πένταθλος εἶναι βούλει ἢ παλαιστής; ἴδε σεαυτοῦ τοὺς βραχίονας, τοὺς μηρούς, τὴν ὀσφὺν

---

3 *ἥξεις V, v, Nil. (Diss.): ηὔξεις B et C un.; ἄρξεις C un.; ἕξεις A un. (de A alt. tacet Schw.)* ‖ 4 *δυσχερῶν τινων αἰσχρῶς Wolf: τινῶν αἰσχρῶν Ench. (Nil.; αἰσχρῶν τινων V)* ‖ *ἀποστήσῃ] αἰσχυνθήσῃ C un. (V)* ‖ **s. 2.** 7 *σ'] δὲ A un.: om. AC sing. (Nil.)* ‖ 11 *παρορύσσεσθαι Upt. e diss: παρέρχεσθαι Ench. (Nil ; unde εἰς τὸν ἀγῶνα C un. (V); παρέχεσθαι AB sing.* ‖ *ἐκβαλεῖν Upt. e diss.; βαλεῖν AC sing. (Nil.); λαβεῖν B ; βλαβεῖν C un.* ‖ 12 *ἔστι δ' ὅτε C un. (V)* ‖ 13 *τούτων Nil.: τῶν Ench. (praeter C un., qui habet μετὰ ταῦτα πάντα cum V); om. A un.* ‖ **s. 3.** *ταῦτα ⟨πάντα⟩ C un. (v)* ‖ *ἀλλ' ἔτι ἐθέλῃς B alt.; om. haec tria verba B alt. (ed. Hal.)* ‖ 18 *ἣν ἂν C un.: ἐὰν A un. (Vv; Nil.); ἂν cett. (ἣν ed. Hal.)* ‖ 19 *ἐπί τι] ἐπὶ τοὔργον C un. (V)* ‖ 20 *περιοδεύσας AC sing. (Vv): περιώδευσας cett. (Nil.)* ‖ **s. 4.** 22 *ὡς Εὐφράτης Wolf e diss.: ὡς εὖ Σωκράτης Ench. (ὡς εὖ τις σοφῶν Nil.)*